ἐσκοτισμένη καὶ τὰ ὄμματα τοῦ φωτός· ὡς γὰρ ἡ μωρὰ ἀσχημόνως περιπατεῖ
σοφία· μὴ κώμοις καὶ μέθαις· μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι
καὶ ζήλῳ, ἀλλ' ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν· καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε
εἰς ἐπιθυμίας· καὶ πάλιν· μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία
ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις
αὐτοῦ· πλὴν ἀδελφοὶ χρή, ὅτι πολλαὶ καὶ διάφοροι, περὶ τῆς
διαιρέσεως κρίνεται τὰ κρίματα καὶ ἀντιδόσεις, ὡς μηδὲ ποιεῖν
ἐπὶ τῶν εἰς τὸ σῶμα ἁμαρτανόντων· ἄλλως κρίνεται ὁ πιστός, καὶ
ἄλλως ὁ ἄπιστος· ὁ γινώσκων γάρ φησι τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ
ποιήσας, δαρήσεται πολλάς· καὶ ἄλλο τὸ κρῖμα τοῦ ἐν νεότητι πορ-
νεύσαντος· καὶ ἄλλο τοῦ ἐν γήρᾳ· καὶ ἄλλο τοῦ ἀγάμου, καὶ ἕτερον
τοῦ γυναῖκα ἔχοντος· καὶ ἄλλο παρὰ τὸ τοῦ σεμνὴν ἔχοντος, καὶ
ἕτερον τοῦ πονηρᾷ συνοικοῦντος· καὶ ἄλλο τὸ εἰς μίαν παρανομῆσαι,
καὶ ἄλλο τὸ εἰς πολλὰς μολυνθῆναι· καὶ ἄλλο τὸ κρῖμα τοῦ διαβολάς
κλέπτου καὶ ἱερέως, καὶ ἄλλο τὸ τοῦ ἰδιώτου· δικαίως γάρ φησι δικαίως
ἐπαθήσεται· ἄλλο τὸ ἀπὸ δεήσεως καὶ συνήθους πονηρίας, καὶ ἄλλο
τὸ κατὰ συναρπαγήν· ἄλλην πάλιν συγγνώμην ἔχει ὁ τύπτων καὶ
διωκόμενος καὶ ὁ διώκων, καὶ ἄλλην ὁ ἁμαρτάνων, καὶ ἐν ἁμαρτί-
μιᾷ διαπαντός· καὶ πάλιν ἄλλως κολάζεται ὁ κατὰ φύσιν τῇ
φιλοσοφώτερος, καὶ ἄλλως καὶ πικρῶς ὑπὸ παντὸς ἁμαρτίαις ἡμῶν
εἰθισμένος, ὁ τὴν παρὰ φύσιν τῶν σοδόμων ἀπώλειαν διαπραττ-
όμενος· ἥντινα, οὐδὲ τὰ ἄλογα πράττουσιν· ὅθεν, καὶ ἡ θεία
γραφὴ δηλοῦσα μὲν ἡ περὶ τῆς σοφίας, φησίν· αὕτη δηλονότι ὅσα περ
ἀπολλυμένων ἀφρόνων ἐρρύσατο· φυγόντα κατὰ βάσιν πῦρ πενταπόλεως,
ἧς ἔστι μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος,
καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά· οὕτω δὴ καὶ ὁ θεὸς περὶ
τὴν κατὰ στροφὴν τῶν σοδόμων μνημονεύεσθαι· οἷον καὶ οἱ ἀδελφοὶ
ἐν περισσοῦ ἐδέξαντο· ἀλλ' ἤκουσε δέ, ὡς ἡμέρα καὶ πολλά